THEOPHRASTI

CHARACTERES

E CODICE PALATINO-VATICANO CX.

ACCURATISSIME EXPRESSI.

Delata nuper ad me est nova Characterum Theophrasti editio, quam curavit H. E. Foss, qui ante hos XXV annos in Theophrasteo aureo libello explicando emendandoque plurimum operae et studii posuit. Non fugit Fossium »*nova codicis Palatini collatione opus esse, nec posse quemquam, hac qui careat, Theophrastei libri emendationem ita instituere et absolvere, ut peritis satisfaciat*" (in Praef. p. XI.). deinde narrat se nactum esse scripturae discrepantiam e Codice Palatino enotatam a Carolo Badhamo, qui eam Ludovico Prellero describendam commisisset, ex cuius apographo se ipsum lectiones discrepantes quam posset accuratissime exscripsisse. Deinde haec refert: »*Easdem praeterea lectiones I. G. Sheppardus Anglus, qui Characteres amplo commentario explicatos Londini anno* 1852 *edidit a Badhamo ipso acceptas in exemplo a se publicato* pag. 280—288. *typis exscribendas curavit.*" Ex utroque igitur apographo Prelleri et Sheppardi Palatini Codicis lectiones Fossius expromsit »*adscriptis fideliter iis, quae apud Sheppardum et Siebenkeesium discreparent.*"

Diligenter excussa omni *Varietate Scripturae*, quam ut ex Palatino Codice Fossius attulit, nullo negotio intellexi non posse me melius de Theophrasti Characteribus mereri quam

sic ut Theophrastea omnia, quae in Palatino libro contineantur, quam accuratissime expressa in omnium notitiam proferrem et sic prorsus omnem dubitationem de cuiusque lectionis fide et auctoritate removerem. Diu et multum in Theophrasteis Characteribus explicandis emendandisque elaboravi, et quum Romae essem egregium Palatinum librum quanta maxima potui cura ac diligentia cum pulvisculo excussi, probe intelligens omnem crisin Characterum Theophrasti tribus tantum Codicibus niti: omne enim emendandi praesidium et fundamentum in capitibus XV prioribus esse in duobus vetustissimis Codicibus Parisinis, in posterioribus capitibus XV crisin pendere totam a Codice Palatino-Vaticano: reliquos autem libros ad unum omnes flocci non esse faciendos et criticam rem impedire tantum et quisquiliis nil profuturis onerare. Saepe de Theophrasti Characteribus scribere aliquid in animum induxi, sed semper me continui et novis semper curis aureolum libellum pessimis exemplis vitiatum et corruptum expendere et omnia prius explorare malui, si forte plura et meliora et certiora excogitando reperire possem. Plurima sunt apud Theophrastum conclamata et deposita et prorsus ἀνιάτως ἔχοντα, quae a multis video malesanis correctiunculis vexari, sed nondum spem omnem abiicio. Quamquam manifestae et palmariae emendationes propter Codicum conditionem rarissime eliciuntur, sat multa tamen admodum probabilia ac paene certa possunt proferri, quibus et sententia sanior et Atticae dictionis nitor in lucem vitamque revocentur. Dum autem haec omnia pervestigare et meditari pergam, interea quam fieri possit accuratissime exhibebo omnia Theophrastea quae in Palatino Codice continentur. De ipso Codice multa dicere nihil attinet: chartaceus est foliis 359 constans, descriptus a variis sed omnia circa eadem tempora saeculo XIV. Plurimae insunt tachygraphorum notae et siglae et compendia, plurima vocabula sunt tachygraphorum more decurtata, sed omnia sunt harum rerum peritis expedita et aperta: compendia scripturae sunt pervulgata et omnium usu trita. *Non est unum vocabulum, de cuius vera scriptura aliqua dubitatio inter legendum oboriri possit, et certa ubique est lectio,* quamquam passim omnibus modis mendosa et vitiis omne genus obsita. Factum est autem ut

homines duo Graeci sermonis pariter et palaeographiae imperitissimi Amadutius et Siebenkeesius illotis manibus Codicem contrectarent, quorum socordia quam multos et quam foedos errores fuderit et ex Badhami mei collatione intellectum est, et si quid ille erravit aut dubitationem aliquam reliquit ipse nunc demonstrabo descriptis summa cura et diligentia omnibus sicut in Codice Palatino scripta sunt: in qua re non tam serviliter secutus sum Codicem Ms. ut male sanam interpunctionem retinerem et ι subscriptum *fere semper* omissum non adscriberem et nomina propria litera unciali non distinguerem. Neque retinui duo puncta, quibus *ubique* ϊ et ϋ notantur, sed reliqua omnia fidelissime ut in Codice scripta sunt exhibui, etiam ridiculos errores, quos in accentuum ratione Graeculi quantitatis syllabarum *ancipitum* prorsus imperiti passim commiserunt. Insunt autem in Palatino Codice inde a folio 253. haec:

ἀπὸ τῶν τοῦ Θεοφράϛου χαρακτήρων.

ις'. χαρακτὴρ δεισιδαιμονίας: —

ἀμέλει ἡ δεισιδαιμονία δόξειεν εἶναι δειλία πρὸς τὸ δαιμόνιον. ὁ δὲ δεισιδαίμων τοιοῦτός τις οἷος ἐπιχρωνῆν ἀπονιψάμενος τὰς χεῖρας καὶ περιρρανάμενος ἀπὸ ἱεροῦ δάφνην εἰς τὸ ϛόμα λαβὼν οὕτω τὴν ἡμέραν περιπατεῖν. καὶ τὴν ὁδὸν ἐὰν περιδράμῃ γαλῆ μὴ πρότερον πορευθῆναι ἕως διεξέλθῃ τις ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ. καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ ἐὰν παρείαν σαβάδιον καλεῖν ἐὰν δὲ ἱερὸν ἱερῶον εὐθὺς ἱδρύσασθαι. καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας ἀπαλλάττεσθαι. καὶ ἐὰν μῦς θύλακον ἀλφίτην διαφάγῃ πρὸς τὸν ἐξηγητὴν ἐλθὼν ἐρωτᾶν τί χρὴ ποιεῖν. καὶ ἐὰν ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιρράψαι μὴ προσέχειν τούτοις ἀλλ' ἀποτραπεὶς ἐκλύσασθαι. καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθάραι δεῖν ὡς ἑκάτης φάσκων ἐπαγωγὴν γεγονέναι. κᾂν γλαῦκες βαδίζοντος αὐτοῦ ταράττεται καὶ εἴπας Ἀθηνᾶ κρείττων παρελθεῖν οὕτω. καὶ οὔτε ἐπιβῆναι μνήματι οὔτ' ἐπὶ νεκρὸν οὔτ' ἐπὶ λεχὼ ἐλθεῖν ἐθελῆσαι, ἀλλὰ τὸ μὴ μαίνεσθαι συμφέρον αὐτῷ φήσας εἶναι. καὶ ταῖς τετράσι δὲ καὶ ταῖς ἑβδομάσι προσάξας οἶνον ἕψειν τοῖς ἔνδον ἐξελθὼν ἀγοράσαι μυρσίνας λιβανωτῶν πίνακα καὶ εἰσελθὼν εἴσω ϛεφανῶν τοὺς

ἑρμαφροδίτους ὅλην τὴν ἡμέραν. καὶ ὅταν ἐνύπνιον ἴδῃ πορεύεσθαι πρὸς τοὺς ὀνειροκριτὰς πρὸς τοὺς μάντεις πρὸς τοὺς ὀρνιθοσκόπους ἐρωτήσων τίνι θεῶν ἢ θεᾷ προσεύχεσθαι δεῖ. καὶ τελεσθησόμενος πρὸς τοὺς ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός. ἐὰν δὲ μὴ σχολάζῃ ἡ γυνὴ μετὰ τῆς τίτθης καὶ τῶν παιδίων. καὶ τῶν περιρραινομένων ἐπὶ θαλάττης ἐπιμελῶς δόξειεν ἂν εἶναι. κἄν ποτε ἐπίδῃ σκορόδῳ ἐστεμμένων τῶν ἐπὶ ταῖς τριόδοις ἀπελθόντων κατὰ κεφαλῆς λούσασθαι καὶ ἱερείας καλέσας σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθάραι μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον φρίξας εἰς κόλπον πτῦσαι: —

SIEBENKEESII ERRORES [1]).

Siebenkees: (Περὶ δεισιδαιμονίας). Codex Palatinus *χαρακτὴρ δεισιδαιμονίας*: — (*δειλεία*) *δειλία*: (*ἐπὶ κρήνην*) *ἐπιχρωνῆν*: (*περιῤῥανάμενος*) *περιρρανάμενος* et sic constanter: (*δάφνης*) *δάφνην*: (*ἡ λίθους τρεῖς*) *ἢ λίθους τρεῖς*: (*ἐὰν δὲ ἱερὰν ἐνταῦθα ἱερὸν*) *ἐὰν δὲ ἱερὸν ἐνταῦθα ἱερῶον*: (*ἰθρύσασθαι*) *ἱδρύσασθαι*: (*ἀλφίτων*) *ἀλφί* supra *την*: (*ἐξεγητὴν*) *ἐξηγητὴν*: (*ἐκδύσασθαι*) *ἐκλύσασθαι*: (*καθᾶραι δεῖν, ὡς Ἑκάτης*) *καθάραι δεῖν ὡς ἑκάτης*: (*κ' ἂν γλαῦκα*) *κἂν γλαῦκες*: (*ταράττεται καὶ εἰπὼν*) *ταράττεται καὶ εἶπας* correctum *εἶπου*: (*ἐπὶ λέχω*) *ἐπὶ λεχὼ*: (*καὶ ταῖς τετάρταις δὲ καὶ ταῖς ἑβδομάταις*) *καὶ ταῖς τετράσι δὲ καὶ ταῖς ἑβδομάσι*: (*τίνι θεῷ ἢ θεᾷ*) *τίνι θεῶν ἢ θεᾷ*: (*μετὰ τῆς τίτθης καὶ τῶν παιδῶν*) *μετὰ τῆς τίτθης καὶ τῶν παιδίων*: (*καὶ περιῤῥαινομένων*) *καὶ τῶν περιρραινομένων*: (*κ' ἂν ποτὲ*) *κἄν ποτε*: (*ἐπελθόντων*) *ἐπελθόντων* correctum *ἀπελθόντων*: (*περικαθᾶραι*) *περικαθάραι*: (*πτύσαι*) *πτῦσαι*: —

Accentus apud Siebenkeesium vitiose positos in *τῆν ὁδὸν, παρεῖαν, λιθῶν, παρίων, μῦς, ὁτὰν, δοξείεν, μαίνομενόν τε* et similia passim, et interpunctionem praeposteram notare non est operae pretium. Dabo ubique *id quod in Palatino scriptum est*: ubi nihil admonuero omnes istiusmodi errores silentio meo redargui puta.

---

1) Vitiosam Siebenkeesii scripturam ubique uncinis includam, genuinam Codicis lectionem sine uncis ubique apponam.

In Codicis scriptura haec notanda sunt: in quo genere malui nimis multa potius describere quam ea omittere quae aliquem fortasse usum habere possent: et facient haec utique ad confirmandam lectionum fidem, quas ex Palatino producam.

δειλία πρὸς τὸ δαιμόνιον: Codex Palatinus *δειλί* supra *α*. *πρ* supra *ὸ*.

Diserte in Codice scriptum est *ἐπιχρωνῆν*.

ἐνταῦθα ἱερῷον: *ἱερῷ* cum compendio syllabae *ον*.

ἐν ταῖς τριόδοις: *τριο* supra *δ* et acutus.

ἐρωτᾶν τί χρὴ ποιεῖν: *ἐρω* supra *τ* cum circumflexo.

δεῖν ὡς ἑκάτης: *δ* cum compend. syll. *ειν* et circumfl.

κἂν γλαῦκες: *γλαῦκ* cum comp. syll. *ες*.

εἴπας ἀθηνᾶ κρείττων: *εἴπ* cum comp. syll. *ας*, corrector substituit comp. syll. *ου*.

τὸ μὴ μαίνεσθαι: *μ* supr. *αί* tum *νε* supr. *σθ* cum comp. syll. *αι*.

ἑβδομάσι: *ἑβδομ* cum ductu longiore aliquid omissum esse significante, supra *ά*.

τοὺς ἑρμαφροδίτους: *ἑρμαφρο* supra *δτ*, inter *δ* et *τ* acutus.

καὶ τῶν παιδίων: *παι* supra *δ* iuxta acutus, quod significare *παιδία*, *παιδίων* (non *παῖδες*, *παίδων*) multi alii loci docebunt, de qua re alias.

κατὰ κεφαλῆς λούσασθαι: Cod *κε* cum signo omissionis et compend. syll. *ης* et circumflexo.

περικαθάραι: *π* supra *ε* cum duobus punctis (..) *καθάρ* supra *αι*.

In Codice sequitur caput XVII:

μεμψιμοιρίας: *ιζ'*: —

ἔϛιν ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τῶν προσηκόντων δεδομένων. ὁ δὲ μεμψίμοιρος τοιόσδέ τις οἷος ἀποϛείλαντος μερίδα τοῦ φίλου εἰπεῖν πρὸς τὸν φέροντα· ἐφθόνησάς μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου οὐκ ἐπὶ δεῖπνον καλέσας. καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν· θαυμάζω εἰ σὺ καὶ ἀπὸ τῆς ψυχῆς οὕτω με φιλεῖς. καὶ τῷ Διὶ ἀγανακτεῖν οὐ διότι ὕει ἀλλὰ διότι ὕϛερον. καὶ εὑρὼν ἐν τῇ ὁδῷ βαλλάντιον εἰπεῖν· ἀλλ' οὐ θησαυρὸν εὕρηκα οὐδέποτε. καὶ πριάμενος ἀνδράποδον ἄξιον καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος· θαυμάζω, εἰπεῖν, ὅτι ὑγιὲς οὕτω ἄξιον ἐώνημαι. καὶ πρὸς τὸν εὐαγγελιζόμενον ὅτι υἱός σοι

γέγονεν εἰπεῖν ὅτι ἂν προσθῇς καὶ τῆς οὐσίας τὸ ἥμισυ ἀπέϛην ἀληθῆ ἐρεῖς. καὶ νίκην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους ἐγκαλεῖ τῷ γράψαντι τὸν λόγον ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων. καὶ ἐράνου εἰσενεχθέντος παρὰ τῶν φίλων καὶ φήσαντός τινος· ἱλαρὸς ἴσθι. καὶ πῶς, εἰπεῖν; ὅτι δεῖ τἀργύριον ἀποδοῦναι ἑκάϛῳ καὶ χωρὶς τούτων χάριν ὀφείλειν ὡς εὐεργετημένον: —

ERRORES SIEBENKEESII.

Siebenkees: (Περὶ μεμψιμοιρίας). Codex Palatinus μεμψιμοιρίας ιζ': (περὶ τῶν προσηνῶς) παρὰ τῶν προσηκόντων: (τοῖος δὲ τις) τοιόσδέ τις: (εἰ σὺ καὶ ἀπὸ ψυχῆς με φιλεῖς) εἰ σὺ καὶ ἀπὸ τῆς ψυχῆς οὕτω με φιλεῖς: (βαλάντιον) βαλλάντιον: (εὐαγγελιζόμενον, υἱός σοι γέγονεν) εὐαγγελιζόμενον ὅτι υἱός σοι γέγονεν: (τὸ ἥμισυ ἄπεϛιν) τὸ ἥμισυ ἀπέϛην: (καὶ δίκην νικήσας) καὶ νίκην νικήσας: (πᾶσας τοὺς ψήφους) πάσας τὰς ψήφους: (ἐγκαλεῖν) ἐγκαλεῖ: (ἱλαρὸς ἔϛω) ἱλαρὸς ἴσθι: (τὸ ἀργύριον ἀποδοῦναι) τἀργύριον ἀποδοῦναι: (εὐηργετημένον) εὐεργετημένον.

Scripturae notabiles hae sunt:

παρὰ τῶν προσηκόντων: Codex π cum compend. significante αρα et acuto, τ cum compend. syll. ων et circumfl. προση supra κτ, iuxta acutus. Apparet igitur veram lectionem hanc esse: ἐπιτίμησις παρὰ τὸ προσῆκον τῶν δεδομένων.

ὑπὸ τῆς ἑταίρας φιλούμενος: correctum a prima manu καταφιλούμενος.

βαλλάντιον: Cod. βαλλάν supra τ.

οὐδέποτε: Cod. οὐδέ supra πτε.

ἀνδράποδον: Cod. ἀνδρά supra πδ.

τῆς οὐσίας: Cod. οὐ supra σ cum comp. syll. ας et iuxta acutus.

πάσας τὰς ψήφους ἐγκαλεῖ τῷ γράψαντι: Cod. πάσ cum comp. syll. ας, τ cum comp. syll. ὰς, ψήφ cum comp. syll. ους, ἐγκαλ supra εῖ, τ supra ῶ iuxta ι.

In Codice sequitur caput XVIII:

ιη'. ἀπιϛίας: —

ἔϛιν ἀμέλει ἀπιϛία ὑπόληψίς τις ἀδικίας κατὰ πάντων. ὁ δὲ

ἄπιςος τοιοῦτός τις οἷος ἀποςείλας τὸν παῖδα ὀψωνήσοντα ἕτερον παῖδα πέμπειν πευσόμενον πόσου ἐπρίατο. καὶ φέρων αὐτὸς τὸ ἀργύριον καὶ κατὰ ςάδιον καθίζων ἀριθμεῖν πόσον ἐςί. καὶ τὴν γυναῖκα τὴν αὐτοῦ ἐρωτᾶν κατακείμενος εἰ κέκλεικε τὴν κιβωτὸν καὶ εἰ σεσήμανται τὸ κυλιούχιον καὶ εἰ ὁ μόχλος εἰς τὴν θύραν τὴν αὐλείαν ἐμβέβληται. καὶ ἂν ἐκείνη φῇ μηδὲν ἧττον αὐτὸς ἀναςὰς γυμνὸς ἐκ τῶν ςρωμάτων καὶ ἀνυπόδητος τὸν λύχνον ἅψας ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι καὶ οὕτω μόλις ὕπνου τυγχάνειν. καὶ τοὺς ὀφείλοντας αὐτῷ ἀργύριον μετὰ μαρτύρων ἀπαιτεῖν τοὺς τόκους ὅπως μὴ δύναιντο ἔξαρνοι γενέσθαι. καὶ τὸ ἱμάτιον δὲ ἐκδῦναι δεινὸς οὐχ ὡς βέλτιςα ἐργάσηται ἀλλ' ὅταν ᾖ ἄξιος ἐγγυητὴς τοῦ κναφέως. καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώματα μάλιςα μὲν μὴ δοῦναι, ἂν δ' ἄρα τις οἰκεῖος ᾖ καὶ ἀναγκαῖος μόνον οὐ πυρώσας καὶ ςήσας καὶ σχεδὸν ἐγγυητὴν λαβὼν χρήσει. καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὐτοῦ ὄπισθεν μὴ βαδίζειν ἀλλ' ἔμπροσθεν ἵνα φυλάττηται αὐτῷ μὴ ἐν τῇ ὁδῷ ἀποδράσῃ. καὶ τοῖς εἰληφόσι τι παρ' αὐτοῦ καὶ λέγουσι πόσου, κατάθου. οὐ γὰρ σχολάζω πω πέμπειν. μηδὲν πραγματεύου. ἐγὼ γὰρ ἂν σὺ σχολάσῃς συνακολουθήσω: —

SIEBENKEESII ERRORES.

Siebenkees: (*ποσοῦ ἐπραίτο*). Codex Palatinus: *πόσου ἐπρίατο*: (*ἀριθμεῖν*) *ἀριθμεῖν πόσον ἐςὶ*: (*τὴν αὐτοῦ ἐρωτᾶν*) *τὴν αὐτοῦ ἐρωτᾶν*: (*καὶ ἐὰν ἐκείνη φῇ*) *καὶ ἂν ἐκείνη φῇ*: (*τὸ ἱμάτιον ἐκδοῦναι*) *τὸ ἱμάτιον ἐκδῦναι*: (*ὡς βέλτιςα ἐργάσηται*) *ὡς βέλτιςα ἐργάσεται* correctum *ἐργάσηται*: (*ἂν δ' ἄρα τὶς οἴκειος ᾖ καὶ ἀναγκαίος*) *ἂν δ' ἄρα τις οἰκεῖος ᾖ καὶ ἀναγκαῖος*: (*μόνον ἐπυρώσας*) *μόνον οὐ πυρώσας*: (*αὐτοῦ ὄπισθον*) *αὐτοῦ ὄπισθεν*: (*οὐ γὰρ σχολάζω πέμπειν*) *οὐ γὰρ σχολάζω πω πέμπειν*.

Quod Fossius ex Palatino affert *ἕτερον παῖδα πέμπειν* (*τὸν*) *πευσόμενον* neque in Codice legitur et orationem soloecam faceret si legeretur.

Quod idem *μόνον οὐ πυρώσας* non credit in Palatino esse fallitur: perspicue *οὐ* noto nexu scriptum sequenti participio de more affixum est.

In caeteris nihil est memorabile, nisi quod *βέλτιςα* in verbis *οὐχ ὡς βέλτιςα ἐργάσηται* in Codice scriptum est *βέλτϊ* supra *ς*.

Sequitur in Codice caput XIX:

ιθ' δυσχερείας.

ἔςιν ἡ δυσχέρεια ἀθεραπευσία σώματος λύπης παρασκευαςική. ὁ δὲ δυσχερὴς τοιοῦτός τις οἷον λέπραν ἔχων καὶ ἀλφὸν καὶ τοὺς ὄνυχας μεγάλους περιπατεῖν καὶ φῆσαι ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀρρωςήματα. ἔχειν γὰρ αὐτὸν καὶ τὸν πατέρα καὶ τὸν πάππον καὶ οὐκ εἶναι ῥᾴδιον αὐτὸν εἰς τὸ γένος ὑποβάλλεσθαι. ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις καὶ προσπταίσματα ἐν τοῖς δακτύλοις καὶ μὴ θεραπεῦσαι ἀλλ' ἐάσαι θηριωθῆναι. καὶ τὰς μασχάλας δὲ θηριώδεις καὶ δασείας ἔχειν ἄχρι ἐπὶ πολὺ τῶν πλευρῶν, καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους ὥςε δυσέντευκτος εἶναι καὶ ἀηδής. καὶ τὰ τοιαῦτα. ἐσθίων ἀπομύττεσθαι θύων ἅμα δ' ἄρξασθαι προσλαλῶν. ἀπορρίπτειν ἀπὸ τοῦ ςόματος. ἅμα πιὼν προσερυγγάνειν. ἀναπίπτοντος ἐν τοῖς ςρώμασι μετὰ τῆς γυναικὸς αὐτοῦ κοιμᾶσθαι. ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρώμενος σφύζεσθαι. καὶ χιτωνίσκον παχὺν καὶ ἱμάτιον σφόδρα λεπτὸν καὶ κηλίδων μεςὸν ἀναβαλλόμενος εἰς ἀγορὰν ἐξελθεῖν. καὶ εἰς ἐξ ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης βλασφημῆσαι. καὶ εὐχομένων καὶ σπενδόντων ἐμβαλεῖν τὸ ποτήριον καὶ γελάσαι ὡς τεράςιόν τι πεποιηκώς. καὶ αὐλούμενος δὲ κροτεῖν ταῖς χερσὶ μόνος τῶν ἄλλων καὶ συντερετίζειν καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι τί οὐ ταχὺ παύσαιτο. καὶ ἀποπτῦσαι δὲ βουλόμενος ὑπὲρ τῆς τραπέζης προσπτῦσαι τῷ οἰνοχόῳ: —

ERRORES SIEBENKEESII.

Siebenkees: (*Περὶ δυσχερείας*). Codex Palatinus: *ιθ'. δυσχερείας*: — (*ἔςι ἡ δυσχέρεια*) *ἔςιν ἡ δυσχέρεια*: (*οἷος λέπραν ἔχων*) *οἷον λέπραν ἔχων*: (*οὐχ εἶναι ραδιον εἰς τὸ γένος*) *οὐκ εἶναι ῥᾴδιον αὐτὸν εἰς τὸ γένος*: (*καὶ ταῦτα μὴ θεραπεῦσαι*) *καὶ μὴ θεραπεῦσαι*: (*μασχάλας θηριώδεις*) *μασχάλας δὲ θηριώδεις*: (*ἄχρις ἐπὶ πολὺ*) *ἄχρι ἐπὶ πολὺ*: (*ἀναβαλόμενος*) *ἀναβαλλόμενος*: (*εἰς ὀρνιθοσκόπου*) *εἰς ἐξ ὀρνιθοσκόπου*: (*ἐκβαλεῖν τὸ ποτήριον*) *ἐμβαλεῖν τὸ ποτήριον*: (*ὡς τεράςιόν τι*) *ὡς τεράςιον τί.*

Scripturae notatu digniores hae sunt:

καὶ οὐκ εἶναι ῥᾴδιον αὐτὸν εἰς τὸ γένος: Cod. *ρα* supra *δ*, iuxta ", *αὐτ* cum gravi duplici.

ἀντικνημίοις: Cod. *ἀντικνη* supra *μ*, iuxta acutus.

θηριωθῆναι: Cod. *θηριω* supra *θν* cum circumfl. et compend. syll. *αι*.

ἀναπίπτοντος: Cod. *ἀναπῖπτον* supra *τ*. pulchre emendavit Badhamus *ἀναπόνιπτος*.

σαπρῷ ἐν τῷ βαλανείῳ χρώμενος: Cod. *σαπρ* supra *ῷ*, *βαλα* supra *ν*, iuxta acutus, *χρώ* supra *μν*.

ἀποπτῦσαι — προσπτῦσαι a pr. manu correctum scilicet *ἀποπτῦσαι — προσπτῦσαι*.

Sequitur in Codice caput XX:

ἀηδίας κ': —

ἔςιν ἡ ἀηδία ὡς ὅρῳ λαβεῖν ἔντευξις λύπης ποιητικὴ ἄνευ βλάβης. ὁ δὲ ἀηδὴς τοιοῦτός τις οἷον ἐγείρειν ἄρτι καθεύδοντα εἰσελθὼν ἵνα αὐτῷ λαλῇ. καὶ ἀνάγεσθαι δὴ μέλλοντας κωλύειν. καὶ προσελθὼν δεῖσθαι ἐπισχεῖν ἕως ἂν περιπατήσῃ. καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος μασώμενος σιτίζειν αὐτός. καὶ ὑποκορίζεσθαι ποππύζων καὶ πανουργιῶν τοῦ πάππου καλῶν. καὶ ἐσθίων δὲ ἅμα διηγεῖσθαι ὡς ἐλέβορον πιὼν ἄνω καὶ κάτω καθαρθείη καὶ ζωμοῦ τοῦ παρακειμένου ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαντέρα ἡ χολή. καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων εἴπου (correctum *εἴπερ*)· *μάμμη ὅτ' ὤδινες καὶ ἔτικτές με τίς ἡμέρα. καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν ὡς ἡδύ ἐςι καὶ ἀμφότερα δὲ οὐκ ἔχοντα οὐ ῥᾴδιον ἄνθρωπον λαβεῖν. καὶ ὅτι ψυχρὸν ὕδωρ ἔςι παρ' αὐτῷ λακκαῖον. καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλὰ ὥςε εἶναι ψυχρόν. καὶ μάγειρος εὖ τὸ ὄψον σκευάζων. καὶ ὅτι ἡ οἰκία αὐτοῦ πανδοκεῖον ἐςί, μεςὴ γάρ ἐςι, καὶ τοὺς φίλους αὐτοῦ εἶναι τὸν τετρημένον πίθον, εὖ ποιῶν γὰρ αὐτοὺς οὐ δύνασθαι ἐμπλῆσαι. καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτοῦ ποῖός τίς ἐςι τῷ συνδειπνοῦντι. καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ ποτηρίου εἰπεῖν ὅτι τὸ τέρψον τοὺς παρόντας παρεσκεύαςαι. καὶ ὅτι αὐτὴν, ἐὰν κελεύσωσιν, ὁ παῖς μέτεισι παρὰ τοῦ πορνοβοσκοῦ ἤδη πῶς πάντες ὑπ' αὐτῆς αὐλώμεθα καὶ εὐφραινώμεθα*: —

ERRORES SIEBENKEESII.

Siebenkees: (Περὶ ἀηδίας). Codex Palatinus: *ἀηδίας κ'*: — (*ἔςι ἡ ἀηδία*) *ἔςιν ἡ ἀηδία*: (*οἷος ἐγείρειν*) *οἷον ἐγείρειν*: (*μασσώμενος*) *μασώμενος*: (*πανοῦργον τοῦ πάππου*) *πανουργιῶν τοῦ πάππου*: (*ἐσθίων ἅμα*) *ἐσθίων δὲ ἅμα*: (*ἐλλέβορον πιὼν*) *ἐλλέβορον πιὼν*: (*εἰπὲ μάμμη*) *εἴπου* (correctum *εἴπερ*) *μάμμη*: (*ἔτικτες μὲ*) *ἔτικτές με*: (*ἀμφότερα οὐκ ἔχοντα*) *ἀμφότερα δὲ οὐκ ἔχοντα*: (*ἡ οἰκία αὐτοῦ*) *ἡ οἰκία αὐτοῦ*: (*εὐποιῶν*) *εὖ ποιῶν*: (*παρασκευάςαι*) *παρεσκευάςαι*.

Animadvertenda scriptura Codicis in hisce:

οἷον ἐγείρειν: Cod. *οἷ* cum comp. syll. *ον*.

τὸ παιδίον τῆς τίτθης ἀφελόμενος: Cod. *τὸ παι* supra *δ*, iuxta acutus. *ἀφελόμενος* scriptum est *ἀφελο* supra *μν* iuxta acutus.

καὶ πανουργιῶν τοῦ πάππου: Cod. *πανουργι* supra compend. syll. *ων* et circumflexus.

εἴπου μάμμη: Cod. *εἴπου*, supra *ου* scriptum *ερ* a prima manu.

παρὰ τοῦ πορνοβοσκοῦ ἤδη. πῶς πάντες: Cod. *π* cum compend. syllab. *ως* et circumfl. *πάντ* cum compend. syllab. *ες*.

Caeterum quod Siebenkees refert *λαβεῖν* in verbis *οὐ ῥᾴδιον ἄνθρωπον λαβεῖν* »a recentiore manu subscriptum et in margine infinitivo *εὑρεῖν* explicatum esse" verum non est, et quod de scripturae nominis *ποτηρίου* compendio Fossius retulit nil quidquam habet novi. Scribitur de more *πο* supra *τρ*, inter utramque consonantem acutus. Sic solent nomina omnia in —*τήριον* a tachygraphis exarari, veluti *δεσμωτήριον*. Hinc intelligitur cur *ποτήριον* et *πότερον* confundantur.

Sequitur in Codice caput XXI:

μικροφιλοτιμίας κα': —

ἡ δὲ μικροφιλοτιμία δόξει εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος. ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις οἷος σπουδάσαι ἐπὶ δεῖπνον κληθεὶς παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι. καὶ τὸν υἱὸν ἀποκεῖραι ἀγαγὼν εἰς Δελφούς. καὶ ἐπιμεληθῆναι δὲ ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔςαι. καὶ ἀποδιδοὺς μνᾶν ἀργυρίου καινὸν ποιῆσαι ἀποδοῦναι. καὶ κολοιῷ δὲ ἔνδον τρεφομένῳ

δεινὸς κλιμάκιον πρίασθαι καὶ ἀσπίδιον χαλκοῦν ποιῆσαι ὃ ἔχων ἐπὶ τοῦ κλιμακίου ὁ κολοιὸς πηδήσεται. καὶ βοῦν θύσας τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλῶσαι ϛέμμασι μεγάλοις περιδήσας ὅπως οἱ εἰσιόντες ἴδωσιν ὅτι βοῦν ἔθυσε. καὶ πομπεύσας μετὰ τῶν ἱππέων τὰ μὲν ἄλλα πάντα δοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλλόμενος δὲ θοιμάτιον ἐν τοῖς μύωψι κατὰ τὴν ἀγορὰν περιπατεῖν. καὶ κυναρίου δὲ Μελιταίου τελευτήσαντος αὐτῷ μνῆμα ποιῆσαι καὶ ϛηλίδιον ποιήσας ἐπιγράψαι κλάδος. Μελιταῖος. καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ ἀσκληπιείῳ τοῦτον ἐκτρίβειν ϛεφανοῦντα ἀλείφειν ὁσημέραι. ἀμέλει δὲ καὶ συνδιοικίσασθαι παρὰ τῶν πρυτάνεων ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερὰ καὶ παρεσκευασμένος λαμπρὸν ἱμάτιον καὶ ἐϛεφανωμένος παρελθὼν εἰπεῖν· ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τὰ ἱερὰ τῇ μητρὶ τῶν θεῶν. τὰ γὰρ ἄξια καὶ τὰ ἱερὰ καλὰ καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά. καὶ ταῦτα ἀπαγγείλας ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ αὑτοῦ γυναικὶ ὡς καθ' ὑπερβολὴν εὐημερεῖν: —

ERRORES SIEBENKEESII.

Siebenkees: (Περὶ μικροφιλοτιμίας). Codex Palatinus: μικροφιλοτιμίας κα': — (ἀναγὼν εἰς Δελφοὺς) ἀγαγὼν εἰς δελφοὺς: (ὅπως αὐτῷ) ὅπως αὐτῷ: (ἐν ταῖς μύωψι) ἐν τοῖς μύωψι. Scribitur τ cum compend. syllab. οις et circumflexo: (μνῆμα καὶ ϛηλίδιον ποιήσας) μνῆμα ποιῆσαι καὶ ϛηλίδιον ποιήσας: (συνδιοικήσασθαι) συνδιοικίσασθαι: (καὶ μὲν ἄξια καὶ τὰ ἱερὰ) τὰ γὰρ ἄξια καὶ τὰ ἱερὰ: (τῇ ἑαυτοῦ γυναικὶ) τῇ αὑτοῦ γυναικὶ:

Est operae pretium animadvertere scripturas hasce:

μικροφιλοτιμία: inter κρο et φι infra versum est nota ὑφ' ἕν, quae saepius in Palatino Codice apparet.

προμετωπίδιον: Cod. προμετωπι supra δ.

κυναρίου: Cod. κυ supra νρ, inter ν et ρ acutus.

δακτύλιον: Cod. δακτυ supra λ, iuxta acutus.

ἀσκληπιείῳ: diserte in Cod. scriptum est, non ἀσκληπίῳ.

ἀθηναῖοι: Cod. ἀ supra θν cum circumflexo et compend. syllab. αι.

τὰ γὰρ ἄξια; Cod. γ pronum cum compend. syllab. αρ et

acuto. Facile credideris *μὲν* esse scriptum, quae res subinde Siebenkeesium fefellit.

In Codice sequitur caput XXII.

ἀνελευθερίας κβ΄: —

ἡ δὲ ἀνελευθερία ἐϛὶ περιουσία τις ἀπὸ φιλοτιμίας δαπάνην ἔχουσα. ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις οἷος νικῆσαι τραγῳδοῖς ταινίαν ξυλίνην ἀναθεῖναι τῷ Διονύσῳ ἐπιγράψας μὲν αὐτοῦ τὸ ὄνομα. καὶ ἐπιδόσεων γινομένων ἐκ τοῦ δήμου ἀναϛὰς σιωπᾶν ἢ ἐκ τοῦ μέσου ἀπελθεῖν. καὶ ἐκδιδοὺς αὐτοῦ θυγατέρα τοῦ μὲν ἱερείου πλὴν τῶν ἱερέων τὰ κρέα ἀποδόσθαι, τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις οἰκοσίτους μισθώσασθαι. καὶ τριηραρ   κυβερνήτου ϛρῶμα ταυτὸν ἐπὶ τοῦ καταϛρώματος ὑποϛορένυσθαι τὰ δὲ αὐτοῦ ἀποτιθέναι. καὶ τὰ παιδία δὲ δεινὸς μὴ πέμψαι εἰς διδασκάλου ὅταν ἦ τοῦ ἀποτιθέναι καὶ τὰ παιδία μουσία ἀλλὰ φῆσαι κακῶς ἔχειν ἵνα μὴ συμβάλωνται. καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας τὰ κρέα αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ καὶ ἔνδον μένειν ὅταν ἐκδῷ θοιμάτιον ἐκπλῦναι. καὶ φίλου ἔρανον συλλέγοντος καὶ διειλεγμένου αὐτῷ προσιόντα προϊδόμενος ἀποκάμψας ἐκ τῆς ὁδοῦ τὴν κύκλῳ οἴκαδε πορευθῆναι. καὶ τῇ γυναικὶ δὲ τῇ αὐτοῦ (correctum *ἑαυτοῦ*) *προῖκα εἰσενεγκαμένῃ μὴ πρίασθαι θεράπαινα ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους ἐκ τῆς γυναικείας παιδίον τὸ συνακολουθῆσαν. καὶ τὰ ὑποδήματα πάλιν πήξει κεκαττυμένα φορεῖν καὶ λέγειν ὅτι κέρατος οὐδὲν διαφέρει. καὶ ἀναϛὰς τὴν οἰκίαν καλλῦναι καὶ τὰς κλίνας ἐκκορῆσαι καὶ καθεζόμενον παραϛρέψαι τὸν χιτῶνα ὃν αὐτὸς φορεῖ: —*

ERRORES SIEBENKEESII.

Siebenkees: (*Περὶ ἀνελευθερίας*). Codex Palatinus: *ἀνελευθερίας κβ΄: —* (*περιουσία τὶς ἀποφιλοτιμίας*) *περιουσία τίς ἀπὸ φιλοτιμίας*: (*ἐκδιδοὺς αὐτοῦ θυγατέρα*) *ἐκδιδοὺς αὐτοῦ θυγατέρα*: (*πλὴν τῶν ἱερείων*) *πλὴν τῶν ἱερέων*: (*τὰ κρέα ἀποδίδοσθαι*) *τὰ κρέα ἀποδόσθαι*: (*καὶ τριηραρχῶν τὰ τοῦ κυβερνήτου*) *καὶ τριηραρ* in extremo versu et cum lacunae indicio in vs. sq. *κυβερνήτου*: (*ϛρώματα αὐτοῦ*) *ϛρῶμα ταυτὸν*: (*ὑποϛορέννυσθαι*) *ὑποϛορένυσθαι*: (*τὰ δὲ αὐτοῦ ἀποτιθέναι*) *τὰ δὲ αὐτοῦ ἀποτιθέναι*: (*πέμψαι εἰς διδάσκαλον*) *πέμψαι εἰς διδασκάλου*: (*ὅταν ᾖ τοῦ*

ἀποτιθένοι καὶ τὰ παιδιμουσία) ὅταν ἢ τοῦ ἀποτιθέναι καὶ τὰ παιδία μουσία: (συμβάλλωνται) συμβάλωνται: (αὐτὸς φέρειν — καὶ τὰ λάχανα) αὐτὸς φέρειν τὰ λάχανα: (ἐν τῷ προκαλπίῳ) ἐν τῷ προκολπίῳ: (ὅταν ἐκδῷ θοιμάτιον ἐκπλῦναι) ὅταν ἐκδῶ θοιμάτιον ἐκπλῦναι: (ἀνακάμψας) ἀποκάμψας: (ἐκ τῆς ὁδοῦ τῷ κύκλῳ) ἐκ τῆς ὁδοῦ τὴν κύκλῳ: (τῇ ἑαυτοῦ προῖκα) τῇ αὑτοῦ (correctum ἑαυτοῦ) προῖκα: (πρίασθαι θεραπαίνας) πρίασθαι θεραίπαινα (sic): (παιδίον συνακολουθῆσον) παιδίον συνακολουθῆσαν: (ὑποδήματα πάλιν πήξει) ὑποδήματα πάλιν πήξει: (καλλῦναι) καλλῦναι: (καθεζόμενος) καθεζόμενον: —

Scripturae ad cognoscendum non inutiles hae insunt:

ἐκδιδοὺς αὐτοῦ θυγατέρα: Cod. αὐ supra τ cum circumflexo, θυγα supra τρ, inter τ et ρ acutus.

πλὴν τῶν ἱερέων: Cod. ἱερέ supra ων.

ϛρῶμα ταυτὸν: Cod. ταυτ cum duplici gravi.

ἐπὶ τοῦ καταϛρώματος: Cod. κα supra τ, tum ϛρω', supra μτ, iuxta acutus.

ἀποτιθέναι καὶ τὰ παιδία μουσία: Cod. παι supra δ, iuxta acutus, μουσί supra α. Manifestus igitur est scribae error, quem sagaciter Meierus (apud Fossium ad h. l.) deprehendit. Scriptum erat in vetustiore libro:

ὑποστορέννυσθαι τὰ δὲ αὐ
τοῦ ἀποτιθέναι καὶ τὰ παιδία
δὲ δεινὸς μὴ πέμψαι εἰς
διδασκάλου ὅταν ᾖ
μουσεῖα ἀλλὰ φῆσαι κακῶς.

Librarius quum recte descripsisset usque ad ὅταν ᾖ alias res agens repetiit secundum versiculum:

τοῦ ἀποτιθέναι καὶ τὰ παιδία

et tum quintum subiecit:

μουσεῖα ἀλλὰ φῆσαι κακῶς
ἔχειν ἵνα μὴ συμβάλωνται.

ἐν τῷ προκολπίῳ: Cod. προκολ supra π, iuxta acutus.

θοιμάτιον ἐκπλύναι: Cod. θοιμα supra τ cum acuto.

θεραίπαινα: Cod. θεραίπ supra αι, tum ν supra α.

συνακολουθῆσαν: Cod. συνακολουθῆσ cum compend. syllab. αν.

κέρατος: Cod. *κέρα* supra *τ*.
καθεζόμενον: Cod. *καθεζό* supra *μν* cum compend. syll. *ον*.

In Codice sequitur cap. XXIII:

ἀλαζονείας κγ': —

ἀμέλει δὲ ἡ ἀλαζονεία δόξει εἶναι προσδοκία τις ἀγαθῶν οὐκ ὄντων. ὁ δὲ ἀλαζὼν τοιοῦτός τις οἷος ἐν τῷ διαζεύγματι ἑϛηκὼς διηγεῖτο ξένοις ὡς πολλὰ χρήματα αὐτοῖς ἔϛιν ἐν τῇ θαλάσσῃ. καὶ περὶ τῆς ἐργασίας τῆς δανειϛικῆς διεξιέναι ἡλίκη, καὶ αὐτὸς ὅσα εἴληφε καὶ ἀπολώλεκε καὶ ἅμα ταῦτα πλεθρίζων πέμπειν τὸ παιδάριον εἰς τὴν τράπεζαν δραχμῆς αὐτῷ κειμένης. καὶ συνοδοιπόρου δὲ ἀπολαῦσαι ἐν τῇ ὁδῷ δεινὸς λέγων ὡς μετα εὐάνδρου ἐϛρατεύσατο καὶ ὡς αὐτῷ εἶχε καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε. καὶ περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ ὅτι βελτίους εἰσὶ τῶν ἐν τῇ Εὐρώπῃ ἀμφισβητῆσαι καὶ ταῦτα ψηφῆσαι οὐδαμοῦ ἐκ τῆς πόλεως ἀποδεδημηκώς. καὶ γράμματα δὲ εἰπεῖν ὡς πάρεϛι παρ' Ἀντιπάτρου τριττὰ δὴ λέγοντα παραγίνεσθαι αὐτὸν εἰς Μακεδονίαν. καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀτελοῦς, ὅτι ἀπείρηται ὅπως μὴ δ' ὑφ' ἑνὸς συκοφαντηθῇ. περαιτέρω φιλοσοφεῖν προσῆκε Μακεδόσι. καὶ ἐν τῇ σποδιᾷ δὲ ὡς πλείους ἢ πέντε τάλαντα αὐτῷ γένοιτο τὰ ἀναλώματα διδόντι τοῖς ἀπόροις τῶν πολιτῶν. ἀνανεύειν γὰρ οὐ δύνασθαι. καὶ ἀγνώτων δὲ παρακαθημένων κελεῦσαι θεῖναι τὰς ψήφους ἕνα αὐτῶν καὶ πόσων καθ' ἑξακοσίας καὶ κατὰ μίαν καὶ προϛιθεὶς πιθανῶς ἑκάϛοις τούτων ὀνόματα ποιῆσαι καὶ δέκα τάλαντα καὶ τοῦτο φήσας εἰσενηνέχθαι εἰς ἐράνους αὐτῶν καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ τίθησιν οὐδὲ τὰς λειτουργίας ὅσας λελειτούργηκε. καὶ προσελθὼν δ' εἰς τοὺς ἵππους τοὺς ἀγαθοὺς τοῖς πωλοῦσι προσποιήσασθαι ὠνητιᾶν. καὶ ἐπὶ τὰς κλίνας ἐλθὼν ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα καὶ τῷ παιδὶ μάχεσθαι ὅτι τὸ χρυσίον οὐκ ἔχων αὐτῷ ἀκολουθεῖ καὶ ἐν μισθωτῇ οἰκίᾳ οἰκῶν φῆσαι ταύτην εἶναι τὴν πατρῴαν πρὸς τὸν μὴ εἰδότα καὶ διότι μέλλει πωλεῖν αὐτὴν διὰ τὸ ἐλάττω εἶναι αὐτῷ πρὸς τὰς ξενοδοχίας: —

ERRORES SIEBENKEESII.

Siebenkees: (Περὶ ἀλαζονείας). Codex Palatinus: *ἀλαζονείας*

κγ' : — (*διηγεῖσθαι ξένοις*) *διηγεῖτο ξένοις*: (*χρήματα αὐτῷ ἐϛιν*) *χρήματα αὐτοῖς ἔϛιν*: (*ἐν τῇ θαλάττῃ*) *ἐν τῇ θαλάσσῃ*: (*ἀπολαῦσας ἐν τῇ ὁδῷ*) *ἀπολαῦσαι ἐν τῇ ὁδῷ*: (*δεινὸς λέγειν*) *δεινὸς λέγων*: (*ὡς μετ' Εὐάνδρου*) *ὡς μετα εὐάνδρου. μετα* sine accentu: (*τριττὸν δὴ λέγοντα*) *τριττὰ δὴ λέγοντα*: (*ἐν τῇ σποδίᾳ*) *ἐν τῇ σποδιᾶι*: (*τάλαντα γένοιτο αὐτῷ*) *τάλαντα αὐτῷ γένοιτο*: (*καὶ ἀγνώϛων δὲ*) *καὶ ἀγνώτων δὲ*: (*καὶ ποσῶν*) *καὶ πόσων*: (*Φήσας εἰσενηνοχέναι*) *Φήσας εἰσενηνέχθαι*: (*αὐτῷ ἐξαγωγῆς*) *αὐτῷ ἐξαγωγῆς*: (*ἀτελοῦς, εἰπεῖν ὅτι*) *ἀτελοῦς ὅτι*: (*εἰς ἐράνους αὐτὸν*) *εἰς ἐράνους αὐτῶν*: (*λιτουργίας*) *λειτουργίας*: (*ὁτι τὸ χρύσιον*) *ὅτι τὸ χρυσίον*: (*καὶ ὅτι μέλλει*) *καὶ διότι μέλλει*:

Scripturae notabiles hae sunt:

τὸ παιδάριον εἰς τὴν τράπεζαν δραχμῆς: Cod. *παι* supra *δρ* cum compend. syllab. *ον.* inter *δ* et *ρ* acutus: *τρά* supra *πζ* cum compend. syllab. *αν.*

ποτήρια: Cod. *πο* supra *τρ*, inter *τ* et *ρ* acutus.

πόλεως ἀποδεδημηκὼς: Cod. *πόλεως δεδημηκὼς* corrector supra scripsit *ἀπο.*

εἰς μακεδονίαν: Cod. *μακε* supra *δν.* inter *δ* et *ν* acutus. Scriba male accentum posuit, nam quod dedit *μακεδόνα* vel *μακεδόνας* significat. Debebat acutum iuxta apponere ut esset *μακεδονίαν.*

Sieb. (*μηδ' ὑφ' ἑνος*) Cod. *μὴ δ' ὑφ' ἑνὸς*:

ἀγνώτων: Cod. *ἀγνω* supra *τ* cum compend. syll. *ων.* iuxta acutus.

καὶ πόσων: Cod. *καὶ πο* supra *σων*, iuxta acutus.

ξενοδοχίας: Cod. *ξενοδο* supra *χ*, accentus nullus.

In Codice sequitur caput XXIV:

ὑπερηΦανίας κδ': —

ἔϛι δὲ ἡ ὑπερηΦανία καταΦρόνησίς τις πλὴν αὐτοῦ τῶν ἄλλων. ὁ δὲ ὑπερήΦανος τοιόσδέ τις οἷος τῷ σπεύδοντι ἀπὸ δείπνου ἐντεύξεσθαι Φάσκειν ἐν τῷ περιπατεῖν. καὶ εὖ ποιήσας μεμνῆσθαι Φάσκειν καὶ βιάζειν ἐν ταῖς ὁδοῖς τὰς διαίτας κρίνειν ἐν τοῖς ἐπιτρέψασι. καὶ χειροτονουμένοις ἐξόμνυσθαι τὰς ἀρχὰς οὐ Φάσκων σχολάζειν. καὶ προσελθεῖν πρότερος οὐδενὶ θελήσας. καὶ τοὺς πωλοῦντάς τι ἢ μεμισθωμένους δεινὸς κε-

λεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ' ἡμέρᾳ. καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς ἐντυγχάνουσι κάτω κεκυφὼς ὅταν δὲ αὐτῷ δοκῇ ἄνω πάλιν. καὶ ἐϛιῶν τοὺς φίλους αὐτὸς μὴ συνδειπνεῖν ἀλλὰ τῶν ὑφ' αὐτόν τινι συντάξαι αὐτῶν ἐπιμελεῖσθαι. καὶ προαποϛέλλειν δὲ ἐπὰν πορεύηται τὸν ἐροῦντα ὅτι προέρχεται. καὶ οὔτε ἐπαλειφόμενον αὐτὸν οὔτε λουόμενον οὔτε ἐσθίοντα ἐάσας ἂν εἰσελθεῖν. ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα τῷ παιδὶ συντάξαι τὰς ψήφους διωθεῖν καὶ κεφάλαιον ποιήσαντι γράψαι αὐτῷ εἰς λόγον. καὶ ἐπιϛέλλων μὴ γράφειν ὅτι χαρίζοιο ἄν μοι ἀλλ' ὅτι βούλομαι γενέσθαι, καὶ ἀπέϛαλκα πρὸς σὲ ληψόμενος, καὶ ὅπως ἄλλως μὴ ἔϛαι, καὶ τὴν ταχίϛην: —

ERRORES SIEBENKEESII.

Siebenkees: (*Περὶ ὑπερηφανίας*). Codex Palatinus: *ὑπερηφανίας κδ': — (Ἔϛι δὲ ὑπερηφανία) ἔϛι δὲ ἡ ὑπερηφανία: (πλὴν αὐτοῦ) πλὴν αὐτοῦ: (τοῖος δὲ τις) τοιόσδέ τις: (κρίνειν· καὶ ἐν τοῖς ἐπιτρέψασι) κρίνειν ἐν τοῖς ἐπιτρέψασι: (προελθεῖν πρότερος) προσελθεῖν πρότερος: (οὐδενὶ θελῆσαι) οὐδενὶ θελήσας: (πάλιν. Ἑϛιῶν) πάλιν καὶ ἐϛιῶν: (τῶν ὑφ' αὐτόν τινὶ) τῶν ὑφ' αὐτόν τινι: (προσαποϛέλλειν) προαποϛέλλειν: (οὔτε ἐπ' ἀλειφόμενον οὔτε λυόμενον) οὔτε ἐπαλειφόμενον αὐτὸν οὔτε λουόμενον:*

Scripturae ad cognoscendum utiliores hae insunt:

οὔτε ἐπαλειφόμενον αὐτὸν οὔτε λουόμενον: Cod. *ἐπαλειφο* supra *μν* cum comp. syllab. *ον*, iuxta acutus; *αὐτ* cum duplici gravi; *λουο* supra *μν* cum comp. syll. *ον*, iuxta acutus.

ἐάσας ἂν εἰσελθεῖν: Cod. *ἐάσ* cum comp. syll. *ας*; *ἀν* cum duplici gravi. Saepissime in Codd. *μὲν*, *δὲ* et *ἂν* habent accentum duplicem.

τῷ παιδὶ: Cod. *τ* supra *ῶ* iuxta *ι*.

κεφάλαιον ποιήσαντι: Cod. *ποιη* supra *στι*, iuxta acutus.

μὴ γράφειν: Cod. *γράψ* cum compend. syll. *ειν*.

πρὸς σὲ ληψόμενος: Cod. *πρ* supra *ὸ*; *σ* supra *ὲ*; *ληψο* supra *μν*.

In Codice sequitur caput XXV:

δειλίας κε': —

ἀμέλει δὲ ἡ δειλία δόξειεν εἶναι ὕπειξίς τις ψυχῆς ἔμφοβος. ὁ δὲ δειλὸς, τίς. οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι καὶ κλύδωνος γενομένου ἐρωτᾶν εἴ τις μὴ μεμύηται τῶν πλεόντων καὶ τοῦ κυβερνήτου ἀνακύπτων μὲν πυνθάνεσθαι εἰ μεσοπορεῖ, καὶ τί αὐτῷ δοκεῖ τὰ τοῦ θεοῦ. καὶ πρὸς τὸν παρακαθήμενον λέγειν ὅτι φοβεῖται ἀπὸ ἐνυπνίου τινός. καὶ ἐκδὺς διδόναι τῷ παιδὶ τὸν χιτωνίσκον καὶ δεῖσθαι πρὸς τὴν γῆν προσάγειν αὐτόν. καὶ ϛρατευόμενος δὲ πεζοῦ (correctum πεζῇ) ἐκβοηθοῦντος τὲ προσκαλεῖν κελεύων πρὸς αὐτὸν ϛάντας πρῶτον περιϊδεῖν καὶ λέγειν ὡς ἔργον διαγνῶναι ἐϛὶ πότερον εἰσὶν οἱ πολέμιοι. καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας εἶπε (correctum εἶπου) πρὸς τοὺς παρεϛηκότας ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς σπουδῆς ἐπελάθετο τρέχειν ἐπὶ τὴν σκηνὴν τὸν παῖδα ἐκπέμψας καὶ κελεύσας προσκοπεῖσθαι ποῦ εἰσὶν οἱ πολέμιοι, ἀποκρύψαι αὐτὴν πρὸς τὸ προσκεφάλαιον εἶτα διατρίβειν πολὺν χρόνον ὡς ζητεῖν. καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν τινὰ προσφερόμενον τῶν φίλων προσδραμὼν καὶ θαρρεῖν κελεύσας ὑπολαβὼν φέρειν καὶ τοῦτον θεραπεύειν καὶ περισπογγίζειν καὶ παρακαθήμενος ἀπὸ τοῦ ἕλκους τὰς μυίας σοβεῖν καὶ πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις. καὶ τοῦ σαλπιϛοῦ δὲ τὸ πολεμικὸν σημήναντος καθήμενος ἐν τῇ σκηνῇ· ἄπαγ' ἐς κόρακας οὐκ ἐάσει τὸν ἄνθρωπον ὕπνου λαβεῖν πυκνὰ σημαίνων. καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι καὶ διηγεῖσθαι ὡς κινδυνεύσας ἕνα σέσωκα τῶν φίλων. καὶ εἰσάγειν πρὸς τὸν κατακείμενον σκεψομένους τοὺς δημότας τοὺς φυλέτας καὶ τούτων ἅμ' ἑκάϛῳ διηγεῖσθαι ὡς αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν: —

SIEBENKEESII ERRORES.

Siebenkees: (Περὶ δειλίας). Codex Palatinus: δειλίας κε': — (ἡ δειλία δοξείεν ἂν εἶναι) ἡ δειλία δόξειεν εἶναι: (ὁ δὲ δειλὸς τοιοῦτός τις, οἷος) ὁ δὲ δειλὸς, τίς. οἷος: (κλυδωνίου γενομένου) κλύδωνος γενομένου: (πρὸς τὴν παρακαθημένον) πρὸς τὸν παρακαθήμενον: (πεζῇ ἐκβοηθοῦντας τε προσκαλεῖν) πεζοῦ (correctum πεζῇ) ἐκβοηθοῦντος τὲ προσκαλεῖν: (πρὸς αὐτὸν πάντας) πρὸς αὐτὸν ϛάντας: (εἰπεῖν πρὸς τοὺς παρεϛηκότας) εἶπε (cor-

rectum εἶπου) πρὸς τοὺς παρεστηκότας: (ἐπελάθετο· καὶ εἰπεῖν τρέχειν ἐπὶ τὴν σκηνὴν) ἐπελάθετο τρέχειν ἐπὶ τὴν σκηνὴν: (ποῦ εἰσιν οἱ πολέμιοι· καὶ ἀποκρύψας αὐτὴν) ποῦ εἰσὶν οἱ πολέμιοι. ἀποκρύψαι αὐτὴν: (οὐκ ἐάσεις) οὐκ ἐάσει: (σκεψαμένους) σκεψομένους: (τοὺς δημότας καὶ φυλέτας) τοὺς δημότας τοὺς φυλέτας: (ἅμα ἑκάστῳ) ἅμ' ἑκάστῳ:

Insigniores quaedam scripturae sunt:

ἡ δειλία δόξειεν εἶναι: Cod. ἡ δει supra λ, iuxta acutus.

ἀνακύπτων μὲν: Cod. ἀνακύ supra πτων; μ cum comp. syll. εν et acuto.

πεζοῦ ἐκβοηθοῦντος τὲ: Cod. πεζοῦ supra οῦ scriptum ῆ; ἐκβοηθοῦντ supra ο; τ supra ὲ.

πρὸς αὐτὸν στάντας: Cod. πρ supra ὸ; αὐτ cum duplici gravi; σταν supra τ cum compend. syll. ας, iuxta acutus.

διαγνῶναι ἐστὶ πότερον εἰσὶν: Cod. διαγνῶ supra ναι; πο supra τρ cum compend. syll. ον, iuxta acutus.

εἶπε πρὸς τοὺς παρεστηκότας: Cod. εἶπ supra ε, manus secunda supra scripsit ου; πρ supra ὸ; τ cum compend. syll. ους et accentu gravi.

πρὸς τὸ προσκεφάλαιον: Cod. πρ supra ὸ.

ὡς ζητεῖν: Cod. ζητ cum comp. syll. ειν et circumflexo.

ἕνα σέσωκα: Cod. σέσω supra κα.

In Codice sequitur caput XXVI:

ὀλιγαρχίας κς': —

δόξειεν δ' ἂν εἶναι ἡ ὀλιγαρχία. τὶς ἰσχυρῶς κέρδους χλιχομένη. ὁ δὲ ὀλίγαρχος τοιοῦτος οἷος τοῦ δήμου βουλομένου τινὰς τῷ ἄρχοντι προαιρήσονται τῆς πομπῆς τοὺς συνεπιμελησομένους παρελθὼν ἀποφήνας ἔχει ὡς δεῖ αὐτοκράτορας τούτους εἶναι, κἂν ἄλλοι προβάλλωνται δέκα λέγειν· ἱκανὸς εἷς ἐστι. τοῦτον δὲ ὅτι δεῖ ἄνδρα εἶναι. καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέχειν ὅτι οὐκ ἀγαθὸν πολυκοιρανίη εἷς κοίρανος ἔστω, τῶν δὲ ἄλλων μηδὲν ἐπίστασθαι. ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν ὀλίγων χρήσασθαι· ἀμέλει δὲ δεινὸς τοῖς τοιόυτοις τῶν ὀλίγων χρήσασθαι ὅτι δεῖ αὐτοὺς ἡμᾶς συνελθόντας περὶ τούτων βουλεύσασθαι καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς ἀπαλλαγῆναι καὶ παύσασθαι ἀρχαῖς πλησιάζοντας καὶ ὑπὸ τούτων αὐτοὺς ὑβριζομένους ἢ τιμωμένους. ὅτι ἢ τούτους δεῖ ἢ ὑμᾶς οἰκεῖν τὴν πόλιν. καὶ τὸ μέσον δὲ τῆς ἡμέρας

ἐξιὼν καὶ τὸ ἱμάτιον ἀναβεβλημένος καὶ μέσην κουρὰν κεκαρμένος καὶ ἀκριβῶς ἀπωνυχισμένος σοβεῖν τοὺς τοιούτους λόγους τὴν τοῦ ὠδίω· διὰ τοὺς συκοφάντας οὐκ οἰκήτωρ ἐϛὶν ἐν τῇ πόλει, καὶ ὡς ἐν τοῖς δικαϛηρίοις δεινὰ πάσχομεν ὑπὸ τῶν δικαζομένων, καὶ ὡς θαυμάζων τῶν πρὸς τὰ κοινὰ προσιόντων τί βούλονται, καὶ ὡς ἀχάριϛόν ἐϛι τοῦ νέμοντος καὶ διδόντος, καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ ὅταν παρακάθηταί τις αὐτῷ λεπτὸς καὶ αὐχμῶν καὶ εἰπεῖν· πότε παυσόμεθα ὑπὸ τῶν λειτουργιῶν καὶ τῶν τριηραρχιῶν ἀπολλύμενοι, καὶ ὡς μισητὸν τὸ τῶν δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πόλει γεγονέναι αἴτιον. τοῦτον γὰρ ἐκ δώδεκα πόλεων εἰς μίαν καταγαγόντα λυθείσας βασιλείας καὶ δίκαια αὐτὸν παθεῖν. πρῶτον γὰρ αὐτὸν ἀπολέσθαι ὑπ' αὐτῶν. καὶ τοιαῦτα ἕτερα πρὸς τοὺς ξένους καὶ τῶν πολιτῶν τοὺς ὁμοτρόπους καὶ ταυτὰ προαιρουμένους: —

SIEBENKEESII ERRORES.

Siebenkees: (Περὶ ὀλιγαρχίας). Codex Palatinus: ὀλιγαρχίας κϛ': (δόξειεν ἂν εἶναι) δόξειεν δ' ἂν εἶναι: (ἡ ὀλιγαρχία, φιλαρχία τὶς) ἡ ὀλιγαρχία. τὶς: (γλιχομένη) χλιχομένη: (ὁ δὲ ὀλιγαρχικὸς) ὁ δὲ ὀλίγαρχος: (βουλομένου τῷ ἄρχοντι τινὰς προαιρεῖσθαι) βουλομένου τινὰς τῷ ἄρχοντι προαιρήσονται: (λέγειν ἱκανὸς εἷς ἐϛιν. καὶ τῶν Ὁμήρου ἐπῶν) λέγειν ἱκανὸς εἷς ἐϛι. τοῦτον δὲ ὅτι δεῖ ἄνδρα εἶναι. καὶ τῶν ὁμήρου ἐπῶν: (δεινὸς τοῖς τοιούτοις τῶν λόγων χρήσασθαι) δεινὸς τοῖς τοιούτοις τῶν ὀλίγων χρήσασθαι ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν ὀλίγων χρήσασθαι. octo verba alias res agens scriba bis descripsit. Descripsit, credo, iterum versiculum eundem, ut supra in cap. XXII dormitans iteravit verba:

τοῦ ἀποτιθέναι καὶ τὰ παιδία.

(περὶ τοῦτο βουλεύσασθαι) περὶ τούτου βουλεύσασθαι: (ὑπὸ τούτων αὐτὸς ὑβριζόμενος [ἢ] ἠτιμόμενος) ὑπὸ τούτων αὐτοὺς ὑβριζομένους ἢ τιμωμένους; (ὅτι ἢ τούτους δεῖ ἢ ἡμᾶς) ὅτι ἢ τούτους (corrector supplevit δεῖ supra versum) ἢ ὑμᾶς: (σοβεῖν τοὺς τοιούτους λόγους· Διὰ τοὺς συκοφάντας) σοβεῖν τοὺς τοιούτους λόγους τὴν τοῦ ὠδίω. διὰ τοὺς συκοφάντας: (οὐκ οἰκητέον ἐϛὶ ἐν τῇ πόλει) οὐκ οἰκήτωρ ἐϛὶν ἐν τῇ πόλει. Scriptum

est *οἰκη* supra *τ* iuxta acutus, supra *τ* legitur *ωρ* a manu secunda scriptum ut videtur. Supra *οἰ* est nota crucis (†) vitiosam lectionem esse indicans. (*δικαςερίοις*) *δικαςηρίοις*: (*ὅτὰν τις παρακάθηται αὐτῷ*) *ὅταν παρακάθηταί τις αὐτῷ*: (*ὑπὸ λειτουργίων*) *ὑπὸ τῶν λειτουργιῶν*: (*ἐκ δώδεκα πόλεων καταγαγόντα*) *ἐκ δώδεκα πόλεων εἰς μίαν καταγαγόντα*: (*λυθεῖσαι βασιλείαν*) *λυθείσας βασιλείας*: (*καὶ δίκαια παθεῖν*) *καὶ δίκαια αὐτὸν παθεῖν*: (*ταύτα προαιρουμένους*) *ταυτὰ προαιρουμένους*.

Animadversione dignae sunt hae scripturae:

ἰσχυρῶς κέρδους χλιχομένη: Cod. *ἰσχυρ* cum compend. syll. *ως* et circumfl., *κέρδ* cum comp. syll. *ους*.

ὁ δὲ ὀλίγαρχος: Cod. *ὀλίγαρ* supra *χ*.

προαιρήσονται: Cod. *προαιρήσον* supra *ται*.

τοῖς τοιούτοις τῶν ὀλίγων: Cod. *ὀλί* supra *γ* cum compend. syll. *ων*.

περὶ τούτου βουλεύσασθαι: Cod. *π* cum duobus punctis (..) et gravi accentu, *του* supra *τ*, iuxta acutus. Sic *τούτου* scribi solet. In vicinia *καὶ ὑπὸ τούτων* scribitur *του* supra *τ* cum compend. syll. *ων*, iuxta acutus.

αὐτοὺς ὑβριζομένους ἢ τιμωμένους: Cod. *αὐτ* cum compend. syll. *ους* et gravi accentu; *ὑβριζομ* cum compend. syll. *εν*, quod in participiis solemne est, supra *ους*, iuxta acutus. Eodem modo *τιμωμένους* scriptum est.

σοβεῖν τοὺς τοιούτους λόγους τὴν τοῦ ὠδΐω: Cod. *σοβ* compend. syll. *ειν* et circumfl.; *τ* cum compend. syll. *ους* et gravi; *τ* supra *οι*, *ου* supra *τ* cum comp. syll. *ους* et acuto; *λο* supra *γ* cum comp. syll. *ους* et acuto; *τ* cum comp. syll. *ην* et gravi; *τ* supra *οῦ*; *ὠδῒ* (*ι* et *υ* *ubique* duo puncta habent) supra *ω*, iuxta acutus.

οἰκήτωρ ἐςὶν: Cod. *οἰκη* supra *τ*, iuxta acutus. Supra *τ* manus secunda, ut videtur, scripsit *ωρ*. Addita est, ut iam diximus, nota †.

ἐκκλησίᾳ: Cod. *ἐκκλ* cum nota omissionis; supra *η* et super *η* scriptum *α* cui adhaeret acutus. Iuxta adscriptum *ι*.

δώδεκα πόλεων: Cod. *πο* supra *λ* cum comp. syll. *ων*, iuxta acutus.

λυθείσας βασιλείας: Cod. *λυθει* supra *σ* cum comp. syll. *ας*.

iuxta acutus; *βασι* supra λ, iuxta acutus. Haec sigla ponitur pro *βασιλεύς* et *βασιλεία* cum omnibus casibus obliquis. Quid sit quoque loco explendum numquam dubium est praeterquam ubi vicina vitium conceperunt.

In Codice sequitur caput XXVII:

ὀψιμαθίας κζʹ: —

ἡ δὲ ὀψιμαθία Φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν ἡλικίαν. ὁ δὲ ὀψιμαθὴς τοιοῦτός τις οἷον ῥήσεις μανθάνειν ἑξηκονταέτης γεγονὼς καὶ ταῦτα λέγων παρὰ πότον ἐπιλανθάνεσθαι. καὶ παρὰ τοῦ υἱοῦ μανθάνειν ἐπὶ τὸ δόρυ καὶ ἐπὶ ἀσπίδα καὶ ἐπ' οὐρὰν, καὶ εἰς ἥρωα συμβάλλεσθαι τοῖς μειρακίοις λαμπάδα τρέχειν. ἀμέλει δὲ κἂν που κληθῇ εἰς ἡράκλειον ῥίψας τὸ ἱμάτιον τὸν βοῦν αἱρεῖσθαι ἵνα τραχηλίσῃ καὶ προσανατρίβεσθαι εἰπὼν εἰς τὰς παλαίςρας καὶ ἐν τοῖς θαύμασι τρία ἢ τέτταρα πληρώματα ὑπομένειν τὰ ᾄσματα ἐκμανθάνων. καὶ τελούμενος τῷ Σαβαζίῳ σπεῦσαι ὅπως καλλιςεύσῃ παρὰ τῷ ἱερεῖ. καὶ ἐρῶν ἱερᾶς καὶ κριοὺς προσβάλλων ταῖς θυ † πληγὰς εἰληΦὼς ὑπ' ἀντεραςοῦ δικάζεσθαι. καὶ εἰς ἀγρὸν ἐΦ' ἵππου ἀλλοτρίου κατοχούμενος ἅμα μελετᾶν ἱππάζεσθαι, καὶ πεσὼν τὴν κεΦαλὴν κατεαγέναι. καὶ ἕνδεκα λιταῖς συνάγειν τοὺς μετ' αὐτοῦ συναύξοντας. καὶ μακρὸν ἀνδριάντα πέζειν πρὸς τὸν ἑαυτοῦ ἀκόλουθον, καὶ διατοξεύεσθαι καὶ διακοντίζεσθαι τῷ τῶν παιδίων παιδαγωγῷ καὶ ἅμα μανθάνειν παρ' αὐτοῦ ὡς ἂν καὶ ἐκείνου μὴ ἐπιςαμένου. καὶ παλαίων δ' ἐν τῷ βαλανείῳ πυκνὰ ἕδραν ςρέΦειν ὅπως πεπαιδεῦσθαι δοκῇ. καὶ ὅταν ὦσι .... γυναικ ... μελετᾶν ὀρχεῖσθαι αὐτὸς αὐτῷ τερετίζων: —

SIEBENKEESII ERRORES.

Siebenkees: (*Περὶ ὀψιμαθίας*). Codex Palatinus: *ὀψιμαθίας κζʹ: —* (*ἑξήκοντα ἔτης γεγονὼς*) *ἑξηκονταέτης γεγονὼς*: (*καὶ ἐπ' οὐρανὸν*) *καὶ ἐπ' οὐρὰν* sine compendio diserte et perspicue scriptum: (*εἰς ἡρῶα*) *εἰς ἥρωα*: (*εἰς ἡρακλεῖον*) *εἰς ἡράκλειον*: (*τὰ ἄσματα*) *τὰ ἄσματα*: (*ἐρῶν ἱέρας*) *ἐρῶν ἱέρας* correctum *ἱερὰς*. Egregium correctorem tenemus, qui ne hoc quidem perspexit *ἐρῶν ἑταίρας* verum esse: (*ταῖς θυ ——— πλήγας*) *ταῖς θυ † πληγὰς*: (*τῷ τῶν παιδῶν παιδαγόγῳ*) *τῷ τῶν παιδίων παιδαγωγῷ*: (*πυκνὰ (τὴν) ἕδραν*) *πυκνὰ ἕδραν*: (*ὅταν*

ὦσι γυναῖκες μελετᾶν) ὅταν ὦσι . . . . γυναικ . . . μελετᾶν : (αὐτῷ τερετίζων) αὐτῷ τερετίζων :

Scripturae non inutiles ad cognoscendum hae sunt:

ῥήσεις μανθάνειν: Cod. μαν supra θν cum compend. syll. ειν, inter θ et ν acutus.

καὶ ἐπ' οὐρὰν καὶ εἰς ἥρωα: Cod. οὐρὰν perspicue sine compendio. Siebenkees aliud agens dedit οὐρανὸν.

εἰπὼν εἰς τὰς παλαίςρας: Cod. εἰπ supra ὼν.

πληρώματα: Cod. πληρω supra μτ cum duobus punctis (:) α significantibus, iuxta acutus.

ἐφ' ἵππου ἀλλοτρίου κατοχούμενος: Cod. ἀλλο supra τρ cum compend. syll. ου, iuxta acutus.

τὴν κεφαλὴν κατεαγέναι: Cod. κε cum nota omissionis, supra ἡν; κατε tum αγ noto nexu, deinde έν solemni more implexa, supra αι.

ἕνδεκα λιταῖς συνάγειν: Cod. λιτ cum compend. syll. αις et circumflexo; συνα supra γ cum compend. syll. ειν, iuxta acutus.

τῷ τῶν παιδίων παιδαγωγῷ: Cod. παι supra δ, iuxta acutus.

Sequitur in Codice caput XXVIII:

κακολογίας κη': —

ἔςι δὲ ἡ κακολογία ἀγὼν τῆς ψυχῆς εἰς τὸ χεῖρον ἐν λόγοις. ὁ δὲ κακολόγος τοιόσδέ τις οἷος ἐρωτηθεὶς ὁ δεῖνα τίς ἐςιν. οὐκοῦνδε καθάπερ οἱ γενεαλογοῦντες πρῶτον ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξομαι τούτου. ὁ μὲν πατὴρ, ἐξ ἀρχῆς Σωσίας ἐκαλεῖτο. ἐγένετο δὲ ἐν τοῖς ςρατιώταις, Σωσίςρατος. ἐπειδὴ δὲ εἰς τοὺς δημότας ἐνεγράφη. ἡ μέντοι μήτηρ εὐγενὴς θράττα ἐςί. καλεῖται γοῦν ἡ ψυχὴ κρινοκόρακα. τὰς δὲ τοιαύτας φασὶν ἐν τῇ πατρίδι εὐγενεῖς εἶναι. αὐτὸς δὲ οὗτος ὡς ἐκ τοιούτων γεγονὼς κακῶς, καὶ μαςιγίας. καὶ κακῶν δὲ πρός τινα, εἰπεῖν· ἐγὼ δήπου τὰ τοιαῦτα οἶδα ὑπὲρ ὧν σὺ πλανᾷς πρὸς ἐμέ. καὶ τούτοις διεξιών· αὗται αἱ γυναῖκες ἐκ τῆς ὁδοῦ τοὺς παριόντας συναρπάζουσι. καὶ οἰκία τις αὕτη. τὰ σκέλη ἠρκυῖα. οὐ γὰρ οἷον λῆρος ἐςὶ τὸ λεγόμενον. ἀλλ' ὥσπερ αἱ γυναῖκες ἐν ταῖς ὁδοῖς συνέχονται καὶ τὸ ὅλον ἀνδρόλαλοι τινὲς καὶ αὐταὶ τὴν θύραν τὴν αὔλειον ὑπακούουσι. μέλει δὲ καὶ κακῶς λεγόντων ἑτέρων συνεπιλαμβάνεσθαι εἴπας· ἐγὼ δὲ τοῦτον τὸν ἄνθρωπον πλέον πάντων μεμίσηκα. καὶ γὰρ εἰδεχθής τις ἀπὸ

τοῦ προσώπου ἐςίν. ἡ δὲ πονηρία οὐδὲν ὁμοία. σημεῖον δέ. τῇ γὰρ αὐτοῦ γυναικὶ τάλαντα εἰσενέγκαμεν, ἣ προῖκα. ἐξ ἧς παιδίον αὐτῷ γεννᾷ (in margine γέγονε) τρεῖς χαλκοὺς εἰς ὄψον δίδωσι καὶ τῷ ψυχρῷ λούεσθαι ἀναγκάζει τῇ τοῦ Ποσειδῶνος ἡμέρᾳ. καὶ συγκαθήμενος δεινὸς περὶ τοῦ ἀναςάντος εἰπεῖν. καὶ ἀρχήν γε εἰληφότος μὴ ἀποσχέσθαι μὴ δὲ τοὺς οἰκείους αὐτοῦ λοιδορεῖσθαι καὶ πλεῖςα περὶ τῶν φίλων καὶ οἰκείων κακὰ εἰπεῖν καὶ περὶ τῶν τετελευτηκότων κακῶς λέγειν ἀποκαλῶν παρρησίαν καὶ δημοκρατίαν καὶ τῶν ἐν τῷ βίῳ ἥδιςα τοῦτο ποιεῖν. οὕτως ὁ τῆς διδασκαλίας ἐρεθισμὸς μανικοὺς καὶ ἐξεςηκότας ἀνθρώπους τοῖς ἤθεσι ποιεῖ: —

SIEBENKEESII ERRORES.

Siebenkees: (Περὶ κακολογίας). Codex Palatinus: κακολογίας κη': — (τοῖος δέ τις) τοιόσδέ τις: (ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξομαι τούτου; ἔςι δὲ ἡ γενεαλογία ἥδε. Ὁ μὲν πατὴρ ἐξ αρχῆς Σωσίας ἐκαλεῖτο). Incredibili socordia Siebenkees de suo infersit putidissima verba: ἔςι δὲ ἡ γενεαλογία ἥδε, quorum in Palatino libro nec vola est nec vestigium. Quod quamquam mihi ex meis Schedis satis constabat tamen rogavi veterem meum discipulum et amicum T. I. Halbertsma in Vaticanis Codicibus explorandis nunc cum maxime versantem, ut mihi hanc partem Palatini Codicis quam accuratissime describeret. Misit mihi apographum singulari cura peritissime scriptum, unde describam tres versiculos, qui leguntur in Cod. fol, 255. a: Primus est:

κακολογίας κη': — Ἔςι δὲ ἡ κακολογία ἀγὼν τῆς ψυχῆς εἰς τὸ χεῖρον ἐν λόγοις. ὁ δὲ

secundus est: κακολόγος τοιόσδέ τις. οἷος ἐρωτηθεὶς ὁ δεῖνα τίς ἐςιν· οὐκοῦνδε καθάπερ οἱ γενεαλογοῦντες πρῶτον ἀπὸ τοῦ γένους

et tertius: αὐτοῦ ἄρξομαι τούτου. ὁ μὲν πατὴρ, ἐξ ἀρχῆς σωσίας ἐκαλεῖτο. ἐγένετο δὲ ἐν τοῖς ςρατιώταις, σωσίςρατος. ἐπειδὴ δὲ εἰς τοὺς δημότας

addam et quartum: ἐνεγράφη. ἡ μέντοι μήτηρ εὐγενὴς θράττα ἐςί. καλεῖται γοῦν ἡ ψυχὴ κρινοκόρακα, τὰς δὲ τοιαύτας φασὶν ἐν τῇ.

Ex eodem apographo indicavi speciminis causa Codicis malesanam interpunctionem. Itaque certum est spuria esse et a Siebenkeesio supposita verba *ἔςι δὲ ἡ γενεαλογία ἥδε*, quae verba Fossio »*sic comparata* esse videntur *ut Siebenkeesii ingenium superent.*" Apparet igitur plus fuisse in Siebenkeesio ingenii quam quis putaverit. Simul apparet Theophrasti locum sic esse constituendum: *καθάπερ οἱ γενεαλογοῦντες πρῶτον ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξομαι. τούτου ὁ μὲν πατὴρ ἐξ ἀρχῆς Σωσίας ἐκαλεῖτο κτέ.*

Praeterea notandum *οὐκοῦνδε* in Codice scriptum esse et scribam supra primam syllabam posuisse crucem (†) ut locum mendosum esse significaret.

(*ἐπειδὴ δ' εἰς τοὺς*) *ἐπειδὴ δὲ εἰς τοὺς*, ut paullo ante *ἐγένετο δὲ ἐν τοῖς*. Scriptum est utrobique *δὲ* notissima sigla. (*γεγονὼς κακὸς, καὶ μαςιγίας*) *γεγονὼς κακῶς καὶ μαςιγίας*: (*καὶ κακῶς δὲ πρός τινα*) *καὶ κακῶν δὲ πρός τινα*: (*διεξιὼν φησὶν, αὗται αἱ γυναῖκες*) *διεξιὼν*. (correctum *διεξιών.*) *αὗται αἱ γυναῖκες*. Siebenkees *φησὶν* addidit de suo: (*οἰκία τίς αὐτή· τὰ σκέλη ἡρεῖσθαι*) *οἰκία τις αὕτη. τὰ σκέλη ἠρκυῖα*: (*οὐ μὲν οἷον λῆρον ἐςι*) *οὐ γὰρ οἷον λῆρος ἐςὶ*: (*ἀνδρόλαλοι τινες, καὶ αὗται τὴν θύραν τὴν αὐλείαν*) *ἀνδρόλαλοι τινὲς καὶ αὐταὶ τὴν θύραν τὴν αὔλειον*: (*κακῶς ἑτέρων λεγόντων*) *κακῶς* ·|· *ἑτέρων* et in margine ·|· *λεγόντων*. voluit igitur *κακῶς λεγόντων ἑτέρων*: (*εἴπων, ἐγὼ δὲ τοῦτον*) Codex a prima manu *εἴπας* (correctum *εἴπου*!) *ἐγὼ δὲ τοῦτον*: (*ἀπὸ προσώπου*) *ἀπὸ τοῦ προσώπου*: (*ἡ δὲ πονηρία· οὐ ὅμοιον*) *ἡ δὲ πονηρία οὐδὲν ὁμοία*: (*τάλαντα εἰσενεγκαμένῃ, ἢ προῖκα*) *τάλαντα εἰσενέγκαμεν, ἡ προῖκα*: (*ἀποχέσθαι*) *ἀποσχέσθαι*: (*μήδε τοὺς οἰκειους αὐτοῦ λειδορεῖσθαι*) *μὴ δὲ τοὺς οἰκείους αὐτοῦ λοιδορεῖσθαι*: (*τελευτηκότων*) *τετελευτηκότων*: (*ἐρεθισμένος*) *ἐρεθισμός*:

Scripturae notabiles hae insunt:

κακολογίας κη': Cod. *κακολο* supra *γ* cum compend. syll. *ας*, iuxta acutus.

κακολόγος τοιόσδέ τις: Cod. *κακολο* supra *γ*, accentus nullus.

ἐνεγράφη: Cod. *ἐνεγρα* cum nota omissionis, supra *η*, iuxta acutus. Scribae in *γράφειν*, *τρέφειν*, *φέρειν* et *λαβεῖν* omittunt mediam consonantem. Itaque *λα* cum comp. *εῖν* est *λα*-

βεῖν (non λαχεῖν): τρέ cum comp. ειν est τρέφειν (non τρέχειν). Eadem ratione scribuntur λαβή, γραφή, τροφή, φορά cum compositis ac derivatis.

καὶ κακῶν δὲ πρός τινα: Cod. κακ cum compend. syll. ων et circumflexo.

οἰκία τις αὕτη. τὰ σκέλη ἤρκυῖα: Cod. οἰκῖα supra α scriptum τ, supra τ compend. syll. ις; σκε supra λη, iuxta acutus; ἠρκυῖ supra α: υι scriptum est nexu solito et circumflexus cum littera α connexus est. Mirum est quomodo haec scriptura deluserit eos qui Codicem contulerunt. Quid Siebenkeesio facias qui inde ἠρεῖσθαι, nihili vocabulum, effinxit?

οὐ γὰρ οἷον λῆρος ἐστὶ: Cod. γ cum compend. syll. αρ et gravi: λῆρ supra ο, deinde solita sigla verbi ἐστὶ.

συνέχονται: Cod. συνέχον supra ται.

ἀνδρόλαλοι τινὲς καὶ αὐταὶ τὴν θύραν τὴν αὔλειον: Cod. αὔλει supra ον.

εἶπας ἐγὼ δὲ: Cod. εἶπ cum comp. syll. ας, quod corrector expunxit et substituit ου.

ἀπὸ τοῦ προσώπου: Cod. προ supra σπου, inter σ et που acutus.

οὐδὲν ὁμοία: Cod. ὁμοι supra acutus connexus cum littera α.

τάλαντα εἰσενέγκαμεν, ἡ προῖκα: Cod. εἰσενέγκαμ (εγ solito nexu) supra comp. syll. εν, quod in hoc Codice simillimum est litterae η, ut facillime nisi has agas pro μὲν tibi videaris μὴ videre.

παιδίον αὐτῷ γεννᾷ: supra γεννᾷ tria puncta, quibus in margine repetitis adscribitur γέγονε.

ἐρεθισμὸς: Cod. ἐρεθισμ supra ὸ.

Φιλοπονίας κθ': —

ἐστι δὲ ἡ φιλοπονία ἐπιθυμία κακίας. ὁ δὲ φιλόπονός ἐστι τοιόσδέ τις οἷος ἐντυγχάνειν τοῖς ἡττημένοις καὶ δημοσίους ἀγῶνας ὠφεληκόσι καὶ ὑπολαμβάνειν ἐὰν τούτοις χρῆται ἐμπειρότερος γενήσεσθαι καὶ φοβερώτερος. καὶ ἐπὶ τοῖς χρηστοῖς εἰπεῖν ὡς γίνεται, καὶ φησὶν ὡς οὐδεὶς ἐστι χρηστὸς καὶ ὁμοίους πάντας εἶναι καὶ ἐπισκῆψαι δὲ ὡς χρηστός ἐστι καὶ τὸν πονηρὸν δὲ εἰπεῖν ἐλεύθερον ἐὰν βούληταί τις εἰς π . . . . καὶ τὰ μὲν ἄλλα ὁμολογεῖν ἀληθῆ ὑπὲρ αὐτοῦ λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων. ἔνια δὲ ἀγνοεῖν. φῆσαι γὰρ αὐτὸν εὐφυῆ καὶ φι-

λέταιρον καὶ ἐπιδέξιον. καὶ διατείνεσθαι δὲ ὑπὲρ αὐτοῦ ὡς οὐκ ἐντετύχηκεν ἀνθρώπῳ ἱκανωτέρῳ. καὶ εὔνους δὲ εἶναι τῷ ἐν ἐκκλησίᾳ λέγοντι ἢ ἐπὶ δικαστηρίῳ κρινομένῳ, καὶ προσκαθήμενος δὲ εἰπεῖν δεινὸς ὡς οὐ δεῖ τὸν ἄνδρα ἀλλὰ τὸ πρᾶγμα κρίνεσθαι. καὶ φῆσαι αὐτὸν κύνα εἶναι τοῦ δήμου. φυλάττειν γὰρ αὐτὸν τοὺς ἀδικοῦντας. καὶ εἰπεῖν ὡς οὐχ᾽ ἕξομεν τοὺς ὑπὲρ τῶν κοινῶν συναχθεσθησομένους ἂν τοὺς τοιούτους προώμεθα. δεινὸς δὲ καὶ προστατῆσαι φαύλων καὶ συνεδρεῦσαι ἐν δικαστηρίοις ἐπὶ πονηροῖς πράγμασι καὶ κρίσιν κρίνων ἐκδέχεσθαι τὰ ὑπὸ τῶν ἀντιδίκων λεγόμενα ἐπὶ τὸ χεῖρον. καὶ τὸ ὅλον φιλοπονία ἀδελφή ἐστι τῆς πονηρίας καὶ ἀληθές ἐστι τὸ τῆς παροιμίας τὸ ὅμοιον πρὸς τὸ ὅμοιον πορεύεσθαι: —

SIEBENKEESII ERRORES.

Siebenkees: Περὶ φιλοπονηρίας). Codex Palatinus: φιλοπονίας κθ′: — (ἡ φιλοπονηρία ἐπιθυμία) ἡ φιλοπονία ἐπιθυμία: (φιλοπόνηρός ἐστι τοῖος δέ τις) φιλόπονός ἐστι τοιόσδέ τις: (ὠφληκόσι) ὠφεληκόσι: (οὐθείς ἐστι) οὐδείς ἐστι: (ἐὰν βούληταί τις εἰς πονηρὸν, καὶ τὰ μὲν ἄλλα) ἐὰν βούληταί τις εἰς π .... καὶ τὰ μὲν ἄλλα: (φῆσαι μὲν αὐτὸν εὐφυῆ) φῆσαι γὰρ αὐτὸν εὐφυῆ: (καὶ φιλαίτερον καὶ ἐπιδόξον) καὶ φιλέταιρον καὶ ἐπιδέξιον: (φιλοπονηρία ἀδελφή ἐστι τῆς πονηρίας) φιλοπονία ἀδελφή ἐστι τῆς πονηρίας:

Scripturae animadversione dignae hae sunt:

φιλοπονίας κθ′: Cod. φιλοπο supra ν cum compend. syll. ας, iuxta acutus.

ἔστι δὲ ἡ φιλοπονία: Cod. φιλοπο supra ν cum acuto.

ὁ δὲ φιλόπονος τοιόσδέ τις: Cod. φιλόπον supra ο, τ supra οι, όσδε supra τις, iuxta acutus.

ὠφεληκόσι: Cod. ὠφελ (ελ solito nexu scriptum) ηκο supra σι, iuxta acutus.

εἰς π ...... καὶ τὰ μὲν: spatium vacuum sex septem litterarum capax.

φῆσαι γὰρ αὐτὸν: Cod. φῆσ supra αι, γ cum compend. syll. αρ et acuto.

φιλέταιρον καὶ ἐπιδέξιον: Cod. φιλέταιρ cum comp. syll. ον, ἐπιδέξι supra ον. Scriptum est δεξ solemni nexu, in quo im-

periti modo δοξ modo δουξ sibi videre videntur.

ὡς οὐχ' ἕξομεν: scribae solent οὐχ' exarare, nam putabant Graeculi voculam in οὐχὶ elisam esse. A prima manu scriptum est ἕξομ supra αι, quod corrector in εν mutavit.

Φιλοπονία ἀδελφή: Cod. Φιλοπονι supra α, iuxta acutus.

In Codice sequitur caput ultimum XXX:

αἰσχροκερδείας λ': —

ἡ δὲ αἰσχροκέρδειά ἐςὶ περιουσία κέρδους αἰσχροῦ. ἔςι δὲ τοιοῦτος ὁ αἰχροκερδὴς οἷος ἐσθίων ἄρτους ἱκανοὺς μὴ παραθεῖναι καὶ δανείσασθαι παρὰ ξένου παρ' αὐτῷ καταλύοντος. καὶ διανέμων μερίδας Φῆσαι δίκαιον εἶναι διμοίρῳ τῷ διανέμοντι δίδοσθαι καὶ εὐθὺς αὐτῷ νεῖμαι. καὶ οἰνοπωλῶν κεκραμένον τὸν οἶνον τῷ Φίλῳ ἀποδόσθαι. καὶ ἐπὶ θέαν τηνικαῦτα πορεύεσθαι ἄγων τοὺς υἱοὺς ἡνίκα προῖκα Φασὶν ἐπὶ θεάτρων. καὶ ἀποδημῶν δημοσίᾳ τὸ μὲν ἐκ τῆς πόλεως ἐΦόδιον οἴκοι καταλιπεῖν παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείσασθαι. καὶ τῷ ἀκολούθῳ μεῖζον Φορτίον ἐπιθεῖναι ἢ δύναται Φέρειν καὶ ἐλάχιςα ἐπιτήδεια ἄλλων παρέχειν. καὶ ξένον δὲ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι. καὶ ἀλειΦόμενος ἐν τῷ βαλανείῳ καὶ εἴπερ· σαπρόν γε τὸ ἔλαιον παιδάριον, τῷ ἀλλοτρίῳ ἀλείΦεσθαι. καὶ τῶν εὑρισκομένων χαλκῶν ὑπὸ τῶν οἰκείων ἐν ταῖς ὁδοῖς δεινὸς ἀπαιτῆσαι τὸ μέρος κοινὸν εἶναι Φήσας τὸν Ἑρμῆν. καὶ ἱμάτιον ἐκδοῦναι πλύναι καὶ χρησάμενος παρὰ γνωρίμου ἐΦελκῦσαι πλείους ἡμέρας ἕως ἂν ἀπαιτηθῇ. καὶ τὰ τοιαῦτα. Φειδομένῳ μέτρῳ π . . δακ . . . . κεκρου μένῳ μετρεῖν αὐτὸς τοῖς ἔνδον σΦόδρα δὲ ὑποσπῶν τὰ ἐπιτήδεια. ὑποπρίασθαι Φίλου δοκοῦντος πρὸς τρόπου πωλεῖσθαι. καὶ χρέη δὲ ἀποδιδοὺς τριάκοντα μνῶν ἔλαττον τέτταρσι δραχμαῖς ἀποδοῦναι. καὶ τῶν υἱῶν δὲ μὴ πορευομένων εἰς τὸ διδασκαλεῖον τὸν μῆνα ὅλον διὰ τὴν ἀρρωςίαν ἀΦαιρεῖν τοῦ μισθοῦ κατὰ λόγον. καὶ τὸν ἀνθεςηριῶνα μῆνα μὴ πέμπειν αὐτοὺς εἰς τὰ μαθήματα διὰ τὸ θέας εἶναι πολλὰς ἵνα μὴ τὸν μισθὸν ἐκτίνῃ. καὶ παρὰ παιδὸς κομιζόμενος ἀποΦορὰν τοῦ χαλκοῦ τὴν ἐπικαταλλαγὴν προσαπαιτεῖν. καὶ λογισμὸν δὲ λαμβάνων παρὰ τοῦ χειρίζοντος Φράτορας . . . . . τοῖς ἑαυτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον, τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ῥαΦανίδων ἡμίσεα ἀπογράΦεσθαι ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσι. συναποδημῶν δὲ μετὰ γνωρίμων χρήσασθαι τοῖς ἐκείνων παισὶ, τὸν

δὲ ἑαυτοῦ ἔξω μισθῶσαι καὶ μὴ ἀναφέρειν εἰς τὸ κοινὸν τὸν μισθόν. ἀμέλει δὲ καὶ συναγόντων παρ' ἑαυτῷ ὑποθεῖναι τῶν παρ' ἑαυτοῦ διδομένων ξύλων καὶ φακῶν καὶ ὄξους καὶ ἁλῶν καὶ ἐλαίου τοῦ εἰς τὸν λύχνον. καὶ γαμοῦντος τινὸς τῶν φίλων καὶ ἐκδιδομένου θυγατέρα πρὸ χρόνου τινὸς ἀποδημῆσαι ἵνα προπέμψῃ προσφοράν. καὶ παρὰ τῶν γνωρίμων τοιαῦτα κιχρᾶσθαι ἃ μήτ' ἂν ἀπαιτῆσαι μήτ' ἂν ἀποδιδόντων ταχέως ἄν τις κομίσαιτο: —

SIEBENKEESII ERRORES.

Siebenkees: (Περὶ αἰσχροκερδείας). Codex Palatinus: αἰσχροκερδείας λ': — (δανείσασθαι περὶ ξένου) δανείσασθαι παρὰ ξένου: (δίμοιρον τῷ διανέμοντι) διμοίρῳ τῷ διανέμοντι: (εὐθὺς αὐτῷ νεῖμαι) εὐθὺς αὐτῷ νεῖμαι: (ἡνίκα προῖκα φανερὰ ἐπὶ θεάτρων) ἡνίκα προῖκα φασὶν ἐπὶ θεάτρων: (καταλειπεῖν) καταλιπεῖν: (καὶ ξενίων δὲ μέρος) καὶ ξένον δὲ μέρος: (τὸ αὐτοῦ ἀπαιτήσας) τὸ αὐτοῦ ἀπαιτήσας: (καὶ εἴπερ σαπρόν γε) Cod. supra εἴπερ habet notam crucis corruptelae indicium. Non viderunt εἴπας veram lectionem esse: (τὸ ἔλαιον παιδαρίῳ) τὸ ἔλαιον παιδάριον: (πλῦναι) πλῦναι: (χρησάμενος περὶ γνωρίμου) χρησάμενος παρὰ γνωρίμου: (ἐφελκύσαι) ἐφελκῦσαι, correctum scilicet in ἐφελκῦσαι: (μέτρῳ τὸν πύνδακα κεκρουμένῳ) μέτρῳ π . . δακ . . . . κεκρου. μένῳ: (καὶ χρέος δὲ) καὶ χρέη δὲ: (ἔλαττων τέτταρσι) ἔλαττον τέτταρσι: (περὶ παιδὸς κομιζόμενος) παρὰ παιδὸς κομιζόμενος: (φράτορας ἐσθίων αἰτεῖν τοῖς ἑαυτοῦ παισὶν) φράτορας . . . . τοῖς ἑαυτοῦ παισὶν: (τῶν παρ' ἑαυτῷ correctum ἑαυτοῦ: (ἐκδιδομένου θυγατρὸς) ἐκδιδομένου θυγατέρα: (ἵνα μὴ προπέμψῃ) ἵνα προπέμψῃ:

Siebenkees errorum seriem ad novissimum usque vocabulum perduxit: dedit enim ταχέως ἀντικομίσαι quum in Codice perspicue scriptum sit ταχέως ἄν τις κομίσαιτο: —

Scripturae memorabiles hae insunt:

παρὰ ξένου: Cod. π cum comp. syll. αρα et gravi.

διμοίρῳ τῷ διανέμοντι: Cod. διμοίρ supra ω, iuxta adscriptum ι.

ἡνίκα προῖκα φασὶν ἐπὶ θεάτρων: Cod. φ cum nota omissionis, supra α, iuxta gravis; θεα supra τρων, iuxta acutus.

οἴκοι καταλιπεῖν: Cod. *καταλιπ* cum compend. syll. *ειν* et circumfl.

καὶ ξένον δὲ μέρος: Cod. *ξέν* cum comp. syll. *ον*.

ἐν τῷ βαλανείῳ: Cod. *βαλα* supra *ν*, iuxta acutus.

καὶ εἴπερ σαπρόν γε: Cod. *εἴπ* et noto nexu *ερ*, supra crux (†).

τὸ ἔλαιον παιδάριον: Cod. *παι* supra *δρ* inter *δ* et *ρ* acutus.

τῷ ἀλλοτρίῳ: Cod. *ἀλλο* supra *τρ*, iuxta acutus.

παρὰ γνωρίμου: Cod. *π* cum compend. *αρα* significante et gravi.

Φειδομένῳ π . . δακ . . . . κεκρου. μένῳ: Cod. *Φειδομ* cum compend. syll. *εν*, supra *ω*, iuxta acutus: eadem ratio est in *κεκρου. μένῳ*. Manifestum est periisse hanc veram lectionem *πύνδακα ἐγκεκρουσμένῳ*.

σφόδρα δὲ ὑποσπῶν τὰ ἐπιτήδεια: Cod. *ἐπιτη* supra *δ*, iuxta acutus.

χρέη δὲ ἀποδιδοὺς: Cod. *χρε* supra *η*, iuxta acutus.

καὶ παρὰ παιδὸς: *π* cum compend. *αρα* et gravi.

παρὰ τοῦ χωρίζοντος correctum *χειρίζοντος*.

Φράτορας . . . . . . τοῖς ἑαυτοῦ παισὶν: Cod. *Φράτορ* cum comp. syll. *ας*. Lacuna sex litterarum capax. In margine: *Φράτωρ*: *ὁ συγγενής*.

συναγόντων παρ' ἑαυτῷ ὑπο in extremo versu, tum in sq. *θεῖναι τῶν παρ' ἑαυτῷ* correctum *ἑαυτοῦ*.

ἐκδιδομένου θυγατέρα: Cod. *θυγα* supra *τρ*, inter *τ* et *ρ* acutus.

ἃ μήτ' ἂν ἀπαιτῆσαι μήτ' ἂν ἀποδιδόντων ταχέως ἄν τις κομίσαιτο: in Cod. *ἂν* in *μήτ' ἂν* bis duplici gravi notatum est, id quod saepe in *ἂν*, *μὲν* et *δὲ* fieri solet. Admodum perspicue scriptum est *ἄν τις* et in *κομίσαιτο* ultima syllaba scripta per nexum longiore ductu extracta est, quemadmodum in ultimo vocabulo scribae facere assolent.

Tum longo spiramine sine ulla subscriptione addita est *ἡ κορωνίς*, quae librum de more claudit.

C. G. COBET.